## I.

## Ἑρμηνεία εἰς τὰ ἐπίλοιπα τοῦ $α^{ου}$ ψαλμοῦ:

**1.** Ἔθος ἐστὶ τοῖς τῶν παίδων εὐγνώμοσι τὰ πατρικὰ χρέα, κἂν μή τις ᾖ ὁ πρὸς τὴν ἔκτισιν κατεπείγων, ἀλλ' ὅμως αὐτοὺς αὐθαιρέτους ἀπο [fol. 33.r] τιννύναι ὁρμᾶν. μόνως γὰρ ἂν οὕτως οἴονται καὶ τοῖς πατράσι τὸ ἀπρόσκοπον πραγματεύεσθαι καὶ ἑαυτοῖς τὸ φιλοπάτορας καὶ εἶναι καὶ ὀνομάζεσθαι, ἐπεὶ τοίνυν καὶ Βασιλείῳ τῷ μεγάλῳ, οὗ πολλοστοὶ μετ'ἐκεῖνον ἡμεῖς ὥσπερ τῆς ἄλλης ἀρετῆς οὕτω δὴ καὶ τῆς ἱερᾶς ταύτης καθέδρας διάδοχοι, ἐπικεχείρισται μὲν τῶν εἰς τὴν βίβλον τῶν ψαλμῶν τοῦ πρώτου ἐξήγησις ᾄσματος, πολλὰ δὲ εἰπεῖν ἔχοντι τῷ ἀνδρί (οἷος ἐκεῖνος σοφίας περιουσίᾳ καὶ τὰ βραχέα πρὸς μῆκος ἀποτεῖναι περιττὸς καὶ τὰ πολλὰ πάλιν τῇ τοῦ συντετμημένου χάριτι λόγου συστεῖλαι εἰδὼς εἰς ἐλάχιστον) καὶ δὴ καὶ διανοίας ὀξύτητι καὶ ἐντρεχείας εἰς βάθος προφητικοῦ νοῦ ἱκανῷ καθεστῶτι ῥᾷστά τε διαδῦναι κἀκεῖθεν τὰ ὑποβρύχια τῇ τοῦ πνεύματος ἀβύσσῳ εἰς φῶς ἀγαγεῖν, ἐξ οὗ καὶ πλάτος τῷ λόγῳ περιπεποίηται — ἐπεὶ οὖν ταῦτα, ἔτι δ'ἐν προοιμίοις τῶν προτεθέντων ἀρκούντως τοὺς ἀκροατὰς ἑστιάσαντι καὶ τοῖς ἑξῆς τὸ λεῖπον ἐν λόγοις ἀναπληρώσειν ἐπηγγελμένῳ (οὐ γάρ που καὶ πρὸς ἔργον εἰς τὴν παροῦσαν ἀφιγμένον αὐτὸν ἴσμεν τοῦ ἐπαγγέλματος, καίτοι γε δυσχερῆ τινα ἑαυτὸν πρὸς πᾶν ἀποφηνάμενον τὸ ἀτέλεστον, πλήν γε ὅτι μὴ εὐπρεπὲς οἶμαι νενόμιστο κόρῳ τὸ τῆς διδασκαλίας αὐτῷ νόστιμον καθυβρίζειν καὶ εἰς ἀνήνυτον ἤδη κεκμηκυίᾳ τῇ ἀκοῇ τὸ τοῦ παρακαλοῦντος προχωρεῖν σπούδασμα), δευτερολογίας ἴσως οὐχ ὑπολελειμμένης τῷ διδασκάλῳ κἂν τούτοις ὁ λόγος ἀπέληξεν, — ἥκομεν τανῦν εὐγνώμονες ἡμεῖς ὀφειλέται τό, τε πατρικὸν ἀναπληροῦντες ὑστέρημα καὶ τὸ ἐλλεῖπον τοῦ κεφαλαίου τε καὶ ἀρχαίου προθύμως διαλυσόμενοι, οὐχ ὅσος μὲν ἐκεῖνος ἑαυτοὺς ὑπειληφότες τὴν χορηγίαν τοῦ ἐνδεοῦς ἐπιδαψιλεύσασθαι (μανία γὰρ ἄντικρυς τοῦτο κἂν ἐπινοίᾳ λαβεῖν), ἀλλ' οὖν καθ' ὅσον οἷοί τε ὦμεν καὶ ταῖς ἐκείνου πρεσβείαις τὸν λόγον χειραγωγώμεθα. [2] πάντως δὲ οὐκ ἀτιμάσετε προαίρεσιν φιλοπάτορα, ὦ νῦν ἡμῖν παρόντες, εἴπερ κατόπιν τοῦ προσήκοντος, ὃ καὶ ἀνάγκη πᾶσα παθεῖν, φέροιτο, οὐδὲ πολλῷ πλέον ὁ προκατάρξας τοῦ ἐγχειρήματος ἱερός τε καὶ μέγας Βασίλειος, ὃς καὶ προαιρέσεως τόνῳ τὸν πρὸς τὰ κάλλιστα πόνον ἡγεῖται ἀπόδεκτον καὶ τοῖς εὐπορουμένοις ποτὲ τῆς τροφῆς λειψάνοις τοὺς λιμοῦ δαιτυμόνας ἐδεξιοῦτο φιλοτιμότερον. διὸ καὶ χωρῶμεν ἤδη ταῖς τούτου εὐχαῖς εὐθὺ τοῦ σκοποῦ τείνοντες. [3] ἀφορισάμενος ἡμῖν ὁ ἱεροψάλτης Δαβίδ, ᾗ φησιν ὁ θεσπέσιος οὗτος ἀνήρ, διὰ τῶν προεφωδευμένων τὸν τῷ ὄντι μακάριον ἄνδρα καὶ οἱονεὶ ἀνακαθάρας

8. ἐπικεχείρησται | vor ψαλμῶν ist βίβ durchgestrichen. 20. κεκμηκυῖα 26. κἂν. ‖ καθόσον. 35. Cf. Ps. 1,1. ‖ τωόντι.